# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

⑨

## Ἀκολουθίαι

α.

Ἐπὶ Ἐνάρξει
Κατηχητικῶν Μαθημάτων

β.

Εἰς παῖδας τοῦ φωτισθῆναι
καὶ ἐπιτυχεῖν εἰς τὰ γράμματα

ΕΚΔΟΣΕΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ
ΑΓΙΩΝ ΚΥΠΡΙΑΝΟΥ ΚΑΙ ΙΟΥΣΤΙΝΗΣ
ΦΥΛΗ ΑΤΤΙΚΗΣ
2012

MIKPON EYXOΛOΓION

⑨

# Ἀκολουθίαι

α.

## Ἐπὶ Ἐνάρξει Κατηχητικῶν Μαθημάτων

β.

## Εἰς παῖδας τοῦ φωτισθῆναι καὶ ἐπιτυχεῖν εἰς τὰ γράμματα

✠
© Ἱερὰ Μονὴ Ἁγίου Κυπριανοῦ
Φυλὴ Ἀττικῆς
Τ.Θ. 46006 - ΑΝΩ ΛΙΟΣΙΑ 133 10 GREECE
Ἀριθμ. Τηλεφ. Κλήσεως: 210 24 11 380
Τηλεαντίγραφα (Telefax): 210 24 11 080
E-mail : kyprianos@synodinresistance.org
Ἱστοσελίδα: http://www.synodinresistance.org

# ΑΚΟΛΟΥΘΙΑ
## ΕΠΙ ΕΝΑΡΞΕΙ
## ΚΑΤΗΧΗΤΙΚΩΝ ΜΑΘΗΜΑΤΩΝ

Εὐτρεπίζεται μικρὰ τράπεζα, καὶ τίθεται ἐπ᾽ αὐτῆς ἱερὸν Εὐαγγέλιον, ξύλινος ἀργυρόδετος Σταυρός, θυμιατήριον, δοχεῖον μεθ᾽ ὕδατος καθαροῦ, δύο κηροπήγια, ἐν οἷς ἀνάπτονται κηρία καθαρά, μικρὰ δέσμη βασιλικοῦ καὶ λευκὸν καθαρὸν μάκτρον.

Συνηγμένων δὲ πάντων, τῶν τε εὐσεβῶν Κατηχητῶν καὶ τῶν Μαθητῶν, ἄρχεται ἡ Ἀκολουθία, τοῦ Ἱερέως φέροντος Ἐπιτραχήλιον, τοῦ δὲ Διακόνου Στιχάριον σὺν Ὀραρίῳ.

***

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Χορός·

Ἀμήν!

Καὶ εὐθὺς τὰ ἑπόμενα τροπάρια·

Τὸ Ἀπολυτίκιον τῆς Πεντηκοστῆς.
Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε, δόξα σοι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ἦχος πλ. δ΄.

Παναγία Θεοτόκε Παρθένε, τῶν χειρῶν ἡμῶν τὰ ἔργα κατεύθυνον, καὶ συγχώρησιν τῶν πταισμάτων ἡμῶν αἴτησαι, ἐν τῷ ψάλλειν ἡμᾶς τῶν Ἀγγέλων τὸν ὕμνον.

***

Εἶτα ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα. Καὶ νῦν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Δύναμις!

Ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

Προκείμενον.

Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Στίχ. Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος.

Ὁ Διάκονος·

Σοφία!

Ὁ Ἀναγνώστης·

Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

Ἀδελφοί, τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ

ψεύδεσθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης. Ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. Ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος. Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι!

Ὁ Χορός·

Ἀλληλούϊα. (γ΄)

Ὁ Διάκονος·

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου!

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι!

Ὁ Χορός·

Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

## Ὁ Χορός·

Δόξα Σοι, Κύριε, Δόξα Σοι!

## Ὁ Ἱερεύς·

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύοντο οἱ γονεῖς τοῦ Ἰησοῦ κατ᾽ ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ Αὐτοῦ. Νομίσαντες δὲ Αὐτὸν ἐν τῇ συνοδείᾳ εἶναι, ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν Αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες Αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες Αὐτόν. Καὶ ἐγένετο μεθ᾽ ἡμέρας τρεῖς εὗρον Αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες Αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν Αὐτοῦ. Καὶ ἰδόντες Αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς Αὐτὸν ἡ Μήτηρ Αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ Σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν Σε. Καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς

τοῦ Πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὅ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ᾽ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ Μήτηρ Αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ Αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, Δόξα Σοι!

***

Εἶτα αἱ ἑξῆς δεήσεις·

Ὁ Διάκονος·

**Ἐ**ν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

**Ὑ**πὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

**Ὑ**πὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

**Ὑ**πὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου Στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο, τῇ δυνάμει καὶ ἐπιφοιτήσει καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ὑπὲρ τῶν ἐν τῷ Κατηχητικῷ τούτῳ διδασκόντων καὶ διδασκομένων, μετὰ τῶν οἰκείων καὶ συγγενῶν αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Ἱερεύς·

Εὐχὴ τοῦ Ἁγιασμοῦ

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὸ πικρὸν ὕδωρ ἐπὶ Μωϋσέως τῷ λαῷ εἰς γλυκύτατα μεταποιήσας καὶ τὰ βλαβερὰ ὕδατα ἐπὶ Ἐλισσαίου ἅλατι θεραπεύσας καὶ τὰ Ἰορδάνεια ῥεῖθρα ἁγιάσας τῇ ἀχράντῳ Σου ἐπιφανείᾳ, [Αὐτὸς καὶ νῦν, Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο τῇ ἐνεργείᾳ καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Σου Πνεύματος (γ´)], τοῦ γενέσθαι αὐτὸ πᾶσι τοῖς ἀρυομένοις καὶ μεταλαμβάνουσιν ἐξ αὐτοῦ εὐλογίας πηγήν, ἰατρεῖον παθῶν, ἁγιασμὸν οἴκων, πάσης ἐπιβουλῆς ὁρατῆς τε καὶ ἀοράτου ἀλεξιτήριον. Ἐλθέτω τὸ Πνεῦμά Σου τὸ Ἅγιον ἐφ᾽ ἡμᾶς καὶ κατασκήνωσον ἐν τῷ ὕδατι τούτῳ καὶ τοὺς σπίλους τῶν προσερχομένων ἰασάμενος, εἰσάγαγε πάντας ἡμᾶς εἰς τὴν οὐράνιόν Σου Βασιλείαν·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν.

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι!

Ὁ Χορός·

Καὶ τῷ πνεύματί σου.

Ὁ Διάκονος·

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν!

Ὁ Χορός·

Σοί, Κύριε.

Ὁ Ἱερεύς, χαμηλοφώνως·
Εὐχὴ τῆς κεφαλοκλισίας

Κλῖνον Κύριε τὸ οὖς Σου καὶ ἐπάκουσον ἡμῶν, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος καὶ ἁγιάσας τὰ ὕδατα· καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα· καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ Σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε καὶ ῥαντισμοῦ· καὶ γενέσθω ἡμῖν, Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος.

Ἐκφώνως·

Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ Σοὶ τὴν δόξαν καὶ

εὐχαριστίαν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν.

***

Ὁ Ἱερεὺς βαπτίζει τὸν Τίμιον Σταυρὸν ἐν τῷ ὕδατι, κατάγων καὶ ἀνάγων Αὐτὸν ὄρθιον καὶ ψάλλων τὸ τροπάριον·

Σῶσον, Κύριε, τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ Σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ Σου πολίτευμα.

Καὶ ὁ Χορὸς τὸ αὐτὸ δίς.

Ὁ Ἱερεὺς ῥαντίζει σταυροειδῶς διὰ τοῦ Σταυροῦ καὶ τοῦ Ἁγιάσματος, ψαλλομένου ὑπὸ τοῦ Χοροῦ τοῦ τροπαρίου·

Ἦχος β΄.

Τῶν Σῶν δωρεῶν ἀξίους ἡμᾶς ποίησον, Θεοτόκε Παρθένε, παρορῶσα τὰ πλημμελήματα ἡμῶν, καὶ παρέχουσα ἰάματα, τοῖς ἐν πίστει λαμβάνουσι, τὴν εὐλογίαν Σου, Ἄχραντε.

***

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Χορός·

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Εὐχὴ εἰς Ἔναρξιν Κατηχητικῶν

Υἱὲ καὶ Λόγε τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ κηρύσσων ἐν ταῖς Συναγωγαῖς ἐν τοῖς Σάββασι καὶ λέγων τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ, ὁ διδάσκων τὰ πλήθη ἐν τῇ ἐρήμῳ καὶ παρὰ τὸν αἰγιαλὸν καὶ ἐν τῷ ὄρει καὶ τῇ στοᾷ τοῦ Σολομῶντος, ὥστε ἐξίστασθαι πάντας καὶ λέγειν, ὅτι οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς Σύ, ὁ Θεάνθρωπος Κύριος.

Ὁ τὸ Πανάγιόν Σου Πνεῦμα καταπέμψας τοῖς θείοις καὶ ἱεροῖς Ἀποστόλοις καὶ τὸν ἄνωθεν φωτισμὸν παρέχων καὶ διδοὺς ἡμῖν λόγον καὶ σοφίαν ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν καὶ ἁγιάζων τοὺς εἰς Σὲ πιστεύοντας.

Ὁ θέλων ἡμᾶς οὐ μόνον ἀκροατάς, ἀλλὰ καὶ ποιητὰς τοῦ Νόμου καὶ παραγγείλας τοῖς Μαθηταῖς Σου βόσκειν τὰ ἀρνία Σου καὶ ἐκτρέφειν τὴν νεολαίαν Σου ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

Ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν ἐν τῇ ὥρᾳ ταύτῃ, ἐν ᾗ καταρχόμεθα τοῦ κύκλου τῶν Κατηχητικῶν Μαθημάτων καὶ κατάπεμψον ἡμῖν τὸν θεῖον Σου φωτισμόν.

Δὸς ἡμῖν πνεῦμα σοφίας, πνεῦμα συνέσεως, εἰς τὸ εἰδέναι τὸ θέλημά Σου καὶ ὀρθοτομεῖν τὸν λόγον τῆς Ἀληθείας Σου.

Διάνοιξον τοὺς ὀφθαλμοὺς τῶν παίδων καὶ νέων, τοῦ συνιέναι τὰς Γραφὰς καὶ δίδαξον αὐτοὺς μελετᾶν ἐν φόβῳ τὸν νόμον Σου καὶ πορεύεσθαι τὰ διαβήματά Σου.

Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·
Ἀμήν!

***

Εἶθ᾽ οὕτως, ὁ Ἱερεὺς εὐλογεῖ καὶ ῥαντίζει ἅπαντας τοὺς συμπαρόντας καὶ συνευχομένους διὰ τοῦ Σταυροῦ καὶ τοῦ Ἁγιάσματος, τοῦ Χοροῦ ψάλλοντος τὰ τροπάρια·

Θεοτοκίον.
Ἦχος δ΄.

Νεῦσον παρακλήσεσι, Σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπανα-

στάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· Σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν Σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν, Δέσποινα, Σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν, τῶν Σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἕτερον.
Ὁ αὐτός.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους Σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

***

## Ἀπόλυσις

Ὁ Ἱερεύς·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν Κύριε, δόξα Σοι!

Ὁ Χορός·

Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον (γ´),
Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ Πανάγιον Πνεῦμα ἐπὶ

τοὺς Ἁγίους Αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων Τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ), τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς!

Ὁ Χορός·

Ἀμήν!

**(*)** Ἡ χρησιμοποιηθεῖσα «Εὐχὴ Ἐπὶ Ἐνάρξει Κατηχητικῶν Μαθημάτων», ἐκ τοῦ ἔργου: Μητροπολίτου Νέας Ἰωνίας καὶ Φιλαδελφείας Τιμοθέου Ματθαιάκη, Ἐγκόλπιον Εὐχολόγιον, σελ. 177-178, ἔκδοσις δ΄, Ἀθῆναι 2000.

# ΑΚΟΛΟΥΘΙΑ
## ΕΙΣ ΠΑΙΔΑΣ ΤΟΥ ΦΩΤΙΣΘΗΝΑΙ ΚΑΙ ΕΠΙΤΥΧΕΙΝ ΕΙΣ ΤΑ ΓΡΑΜΜΑΤΑ

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα!

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων!

Ὁ Χορός·

Ἀμήν!

Καὶ εὐθὺς τὰ ἑπόμενα τροπάρια·

Τὸ Ἀπολυτίκιον τῆς Πεντηκοστῆς.
Ἦχος πλ. δ΄.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, Φιλάνθρωπε δόξα Σοι.

Κοντάκιον Πεντηκοστῆς.
Ἦχος πλ. δ΄.

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ

πυρὸς τὰς γλῶσσας διένειμε εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ Πανάγιον Πνεῦμα.

Δόξα. Καὶ νῦν.

Ἦχος πλ. β΄.

Βασιλεῦ Οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

***

Εἶτα ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα. Καὶ νῦν.

Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Δύναμις!

Ὁ Χορός·

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

Προκείμενον.

**Δ**ουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ.

Στίχ. Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος.

Ὁ Διάκονος·

Σοφία!

Ὁ Ἀναγνώστης·

**Κ**αθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Ἀναγνώστης·

**Α**δελφοί, τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. Εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. Οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης. Ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. Ἡ δὲ ἄνωθεν σοφία

πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος. Καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Ὁ Ἱερεύς·

Εἰρήνη σοι τῷ ἀναγινώσκοντι!

Ὁ Χορός·

Ἀλληλούϊα. (γ΄)

Ὁ Διάκονος·

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου!

Ὁ Ἱερεύς·

Εἰρήνη πᾶσι!

Ὁ Χορός·

Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Λουκᾶν Ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Ὁ Διάκονος·

Πρόσχωμεν!

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, Δόξα Σοι!

Ὁ Ἱερεύς·

Τῷ καιρῷ ἐκείνῳ ἐπορεύοντο οἱ γονεῖς τοῦ Ἰησοῦ κατ᾽ ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ Αὐτοῦ. Νομίσαντες δὲ Αὐτὸν ἐν τῇ συνοδείᾳ εἶναι, ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν Αὐτὸν ἐν τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· καὶ μὴ εὑρόντες Αὐτὸν ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες Αὐτόν. Καὶ ἐγένετο μεθ᾽ ἡμέρας τρεῖς εὗρον Αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες Αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν Αὐτοῦ. Καὶ ἰδόντες Αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς Αὐτὸν ἡ Μήτηρ Αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ Σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν Σε. Καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὅ ἐλάλησεν αὐτοῖς. Καὶ κατέβη μετ᾽ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ,

καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Καὶ ἡ Μήτηρ Αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ Αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, Δόξα Σοι!

***

Εἶτα αἱ ἑξῆς δεήσεις·

Ὁ Διάκονος·

**Ἐ**λέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον. (γ΄)

**Ἔ**τι δεόμεθα, ὑπὲρ ἐλέους ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν, τοῦ δούλου τοῦ Θεοῦ (δεῖνα).

Κύριε, ἐλέησον. (γ΄)

**Ἔ**τι δεόμεθα, ὑπὲρ φωτισμοῦ, διανοίξεως τῶν ὀφθαλμῶν τῆς διανοίας, ἐνισχύσεως, προόδου καὶ ἐπιτυχίας αὐτοῦ.

Κύριε, ἐλέησον. (γ΄)

**Ἀ**ντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον αὐτόν, ὁ Θεὸς τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον. (γ΄)

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν!

Ὁ Χορός·

Κύριε, ἐλέησον.

Ὁ Ἱερεύς·

Εὐχὴ εἰς παῖδας τοῦ φωτισθῆναι

Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ ἐνοικήσας εἰς τὰς καρδίας τῶν ἁγίων Σου Μαθητῶν καὶ Ἀποστόλων, ἀνυποκρίτως, διὰ τῆς χάριτος τοῦ Παναγίου Πνεύματος, τοῦ κατελθόντος ἐν εἴδει πυρίνων γλωσσῶν, καὶ τούτων τὰ χείλη ἀνοίξας, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις.

Αὐτός, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξαπόστειλον αὐτὸ τὸ Πνεῦμά Σου τὸ Ἅγιον ἐπὶ τὸ παρὸν παιδίον (δεῖνα), καὶ ἐμφύτευσον εἰς τὰ ὦτα τῆς καρδίας

αὐτοῦ τὰ ἱερὰ καὶ λοιπὰ σχολικὰ γράμματα καὶ μαθήματα, εἰς τὸ ἐπιτυχεῖν καὶ ἐργασθῆναι διὰ τὴν δόξαν τοῦ παναγίου Ὀνόματός Σου.

Πρεσβείαις τῆς Παναχράντου Σου Μητρός, τῶν ἁγίων καὶ Πανευφήμων Ἀποστόλων, τῶν μεγάλων Ἱεραρχῶν καὶ Οἰκουμενικῶν Διδασκάλων καὶ πάντων Σου τῶν Ἁγίων.

Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν!

## Εὐχὴ ἑτέρα

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τὸ ἀΐδιον Φῶς, ἡ ἄπειρος Σοφία τοῦ Πατρός, ἡ πάντων χαρὰ καὶ ἀλήθεια, ὁ πᾶσαν τὴν κτίσιν ἀρρήτῳ σοφίᾳ κυβερνῶν, ὁ ἥλιος τῆς δικαιοσύνης ὁ λάμψας ἐν τῷ κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως, ὁ διδάσκων τὰς Γραφάς, ὁ ἐν τῷ ἱερῷ καθεζόμενος ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκούων καὶ ἐπερωτῶν αὐτούς, ὥστε ἐξίστασθαι πάντας ἐπὶ τῇ συνέσει καὶ ταῖς Σαῖς ἀποκρίσεσιν.

Ἐλθὲ καὶ ἐπισκίασον τὸν δοῦλόν Σου (δεῖνα), καὶ ἐπιφοίτησον ἐπ᾽ αὐτὸν τὴν χάριν καὶ τὸν θεῖον Σου φωτισμόν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας καὶ διὰ τοῦ Ἁγίου Πνεύματος διδασκάλους αὐτοὺς καταστήσας καὶ δι᾽αὐτῶν τὴν οἰκουμένην εἰς τὴν σαγήνην τῆς Ἐκκλησίας Σου ἑλκύσας.

Φώτισον τὴν διάνοιαν αὐτοῦ, εἰς τὸ εἰδέναι τὸ πανάγιον θέλημά Σου καὶ μὴ ὀλιγωρεῖν παιδείας, ὅτι αὕτη καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης.

Ἔλλαμψον ἐν τῇ καρδίᾳ αὐτοῦ τὸ τῆς Σῆς θεογνωσίας ἀκήρατον φῶς, καὶ τοὺς τῆς διανοίας ὀφθαλμοὺς διάνοιξον εἰς τὴν τῶν σχολικῶν μαθημάτων κατανόησιν καὶ ἐκμάθησιν· πνεῦμα σοφίας, πνεῦμα συνέσεως δώρησαι αὐτῷ ἐν τῷ ἐπιμελεῖσθαι παιδείας καὶ σπουδάζειν ἀρετῇ καὶ ἤθει καὶ σεμνότητι, ὅτι τὸ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς.

Ἔνδυσον αὐτὸν ὅπλα φωτὸς καὶ καταύγασον αὐτοῦ τὴν ψυχὴν τῇ μελέτῃ τῶν Σῶν κριμάτων, ἵνα τοῖς Σοῖς ἀκολουθῶν προστάγμασι, καταντήσῃ εἰς ἐπίγνωσιν τῆς ἀπροσίτου Σου δόξης καὶ χρηστὸς καὶ χρήσιμος πολίτης ἀναδειχθῇ, ποιῶν ἐν παντὶ τὰ Σοὶ εὐάρεστα καὶ τοῖς ἀνθρώποις ὠφέλιμα.

Πρεσβείαις τῆς Σῆς Ἀχράντου Μητρός, τῶν ἁγίων ἐνδόξων Προφητῶν καὶ Ἀποστόλων, τῶν ἁγίων Πατέρων καὶ μεγάλων Ἱεραρχῶν καὶ Οἰκουμενικῶν Διδασκάλων καὶ πάντων Σου τῶν Ἁγίων·

Ὅτι Σοὶ εἶ ἡ πηγὴ τῆς σοφίας καὶ τῆς γνώσεως καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ Ἀνάρχῳ Σου Πατρὶ καὶ τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός·

Ἀμήν!

***

## Ἀπόλυσις

Ὁ Ἱερεύς·

Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν Κύριε, δόξα Σοι!

Ὁ Χορός·

Δόξα... Καὶ νῦν... Κύριε, ἐλέησον (γ΄),
Πάτερ ἅγιε, εὐλόγησον.

Ὁ Ἱερεύς·

Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ Πανάγιον Πνεῦμα ἐπὶ τοὺς Ἁγίους Αὐτοῦ Μαθητὰς καὶ Ἀποστό-

λους, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ Μητρός· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων ἐνδόξων Τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τοῦ Ἁγίου (τάδε - τοῦ Ναοῦ), τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ Ἁγίου (τάδε - τῆς ἡμέρας), οὗ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

**Δ**ι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς!

Ὁ Χορός·

Ἀμήν!

---

**(*)** Ἡ μὲν πρώτη ἐκ τῶν Εὐχῶν «Εἰς παῖδας τοῦ φωτισθῆναι», ἐκ τοῦ Μεγάλου Εὐχολογίου, σελ. 607-608, ἔκδοσις «Ἀστήρ», Ἀθῆναι 1970, μέ τινας προσθήκας καὶ βελτιώσεις· ἡ δὲ δευτέρα, μᾶλλον σύνθεσις ἡμετέρα, ποιηθεῖσα πρὸ πολλῶν ἐτῶν, λησμονηθείσης τῆς πρώτης πηγῆς.

# ΜΙΚΡΟΝ ΕΥΧΟΛΟΓΙΟΝ

**1.** Ἀκολουθίαι:

**α.** Ἐπὶ γυναικὶ ἀτέκνῳ, εἰς τὸ παιδοποιῆσαι.

**β.** Ἐπὶ γυναικὶ ἐγκύῳ, εἰς τὸ κυοφορῆσαι ἀκινδύνως καὶ γεννῆσαι αἰσίως.

**2.** Ἱερὰ Ἀκολουθία ἐπὶ καθιερώσει Σταυροῦ διὰ τὸν τροῦλλον Ἱεροῦ Ναοῦ.

**3.** Θυρανοίξια Ναοῦ, ἤτοι Ἱερὰ Ἀκολουθία Ἁγιασμοῦ ἐπὶ τῇ ἐνάρξει λειτουργίας Ναοῦ.

**4.** Ἀκολουθία Εὐλογίας Μνήστρων.

**5.** Τάξις Ἐπὶ Θεμελίῳ Ἐκκλησίας.

**6.** Τάξις ἐπὶ τῇ προσελεύσει εἰς τὴν Ὀρθόδοξον Ἐκκλησίαν τοῦ Πατρίου Ἡμερολογίου.

**7.** Ἀκολουθία ἐπὶ εὐλογίᾳ οἴκου νέου, προικῴων καὶ κλίνης μελλονύμφων.

**8.** Τελετὴ τῆς Ὑψώσεως τοῦ Τιμίου Σταυροῦ τῇ ΙΔ´ Σεπτεμβρίου.

**9.** Ἀκολουθίαι:

**α.** Ἐπὶ Ἐνάρξει Κατηχητικῶν Μαθημάτων.

**β.** Εἰς Παῖδας τοῦ φωτισθῆναι καὶ ἐπιτυχεῖν εἰς τὰ γράμματα.

**10.** Τάξις Δοξολογίας Ἐπὶ τῇ Ἐνάρξει τοῦ Νέου Πολιτικοῦ Ἔτους.

**11.** Τάξις Εὐλογήσεως Πίττας πρὸς τιμὴν τοῦ Μεγάλου Βασιλείου.
**12.** Τάξις Δοξολογίας Ἐπὶ τῇ Ἐθνικῇ Ἑορτῇ τῇ ΚΕ΄ Μαρτίου.
**13.** Τάξις Δοξολογίας Ἐπὶ τῇ Ἐθνικῇ Ἐπετείῳ τῶν Νικητηρίων τῇ ΚΗ΄ Ὀκτωβρίου.
**14.** Ἀκολουθία Μικροῦ Ἁγιασμοῦ Ἐπὶ τῇ Ἐνάρξει τῆς Νέας Συνοδικῆς Περιόδου.

✠

**Τῷ δὲ ἐν Τριάδι**
**Παναγίῳ καὶ Φιλανθρώπῳ Θεῷ ἡμῶν**
**δόξα, τιμή, προσκύνησις**
**καὶ εὐχαριστία.**
**Ἀμήν!**